καὶ λαμβάνουσιν αὐτὸν καὶ ἄγουσιν αὐτὸν πρὸς Δαυιδ ἐν ἀγρῷ·
καὶ διδόασιν αὐτῷ ἄρτον, καὶ ἔφαγεν, καὶ ἐπότισαν αὐτὸν ὕδωρ·
12 [12]καὶ διδόασιν αὐτῷ κλάσμα παλάθης, καὶ ἔφαγεν, καὶ κατέστη τὸ
πνεῦμα αὐτοῦ ἐν αὐτῷ, ὅτι οὐ βεβρώκει ἄρτον καὶ οὐ πεπώκει
13 ὕδωρ τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. [13]καὶ εἶπεν αὐτῷ Δαυιδ Τίνος
σὺ εἶ καὶ πόθεν εἶ; καὶ εἶπεν τὸ παιδάριον τὸ Αἰγύπτιον Ἐγώ
εἰμι δοῦλος ἀνδρὸς Αμαληκίτου, καὶ κατέλιπέν με ὁ κύριός μου,
14 ὅτι ἠνωχλήθην ἐγὼ σήμερον τριταῖος. [14]καὶ ἡμεῖς ἐπεθέμεθα ἐπὶ
νότον τοῦ Χολθι καὶ ἐπὶ τὰ τῆς Ιουδαίας μέρη καὶ ἐπὶ νότον Χε-
15 λουβ καὶ τὴν Σεκελακ ἐνεπυρίσαμεν ἐν πυρί. [15]καὶ εἶπεν πρὸς αὐ-
τὸν Δαυιδ Εἰ κατάξεις με ἐπὶ τὸ γεδδουρ τοῦτο; καὶ εἶπεν Ὄμο-
σον δή μοι κατὰ τοῦ θεοῦ μὴ θανατῶσειν με καὶ μὴ παραδοῦναί
με εἰς χεῖρας τοῦ κυρίου μου, καὶ κατάξω σε ἐπὶ τὸ γεδδουρ τοῦ-
16 το. [16]καὶ κατήγαγεν αὐτὸν ἐκεῖ, καὶ ἰδοὺ οὗτοι διακεχυμένοι ἐπὶ
πρόσωπον πάσης τῆς γῆς ἐσθίοντες καὶ πίνοντες καὶ ἑορτάζοντες
ἐν πᾶσι τοῖς σκύλοις τοῖς μεγάλοις, οἷς ἔλαβον ἐκ γῆς ἀλλοφύλων
17 καὶ ἐκ γῆς Ιουδα. [17]καὶ ἦλθεν ἐπ᾽ αὐτοὺς Δαυιδ καὶ ἐπάταξεν αὐ-
τοὺς ἀπὸ ἑωσφόρου ἕως δείλης καὶ τῇ ἐπαύριον, καὶ οὐκ ἐσώθη
ἐξ αὐτῶν ἀνὴρ ὅτι ἀλλ᾽ ἢ τετρακόσια παιδάρια, ἃ ἦν ἐπιβεβηκότα
18 ἐπὶ τὰς καμήλους καὶ ἔφυγον. [18]καὶ ἀφείλατο Δαυιδ πάντα, ἃ ἔλα-
βον οἱ Αμαληκῖται, καὶ ἀμφοτέρας τὰς γυναῖκας αὐτοῦ ἐξείλατο.
19 [19]καὶ οὐ διεφώνησεν αὐτοῖς ἀπὸ μικροῦ ἕως μεγάλου καὶ ἀπὸ
τῶν σκύλων καὶ ἕως υἱῶν καὶ θυγατέρων καὶ ἕως πάντων, ὧν
20 ἔλαβον αὐτῶν· τὰ πάντα ἐπέστρεψεν Δαυιδ. [20]καὶ ἔλαβεν Δαυιδ
πάντα τὰ ποίμνια καὶ τὰ βουκόλια καὶ ἀπήγαγεν ἔμπροσθεν τῶν
σκύλων, καὶ τοῖς σκύλοις ἐκείνοις ἐλέγετο Ταῦτα τὰ σκῦλα Δαυιδ.
21 — [21]καὶ παραγίνεται Δαυιδ πρὸς τοὺς διακοσίους ἄνδρας τοὺς
ἐκλυθέντας τοῦ πορεύεσθαι ὀπίσω Δαυιδ καὶ ἐκάθισεν αὐτοὺς ἐν
τῷ χειμάρρῳ τῷ Βοσορ, καὶ ἐξῆλθον εἰς ἀπάντησιν Δαυιδ καὶ εἰς
ἀπάντησιν τοῦ λαοῦ τοῦ μετ᾽ αὐτοῦ, καὶ προσήγαγεν Δαυιδ ἕως
22 τοῦ λαοῦ, καὶ ἠρώτησαν αὐτὸν τὰ εἰς εἰρήνην. [22]καὶ ἀπεκρίθη πᾶς
ἀνὴρ λοιμὸς καὶ πονηρὸς τῶν ἀνδρῶν τῶν πολεμιστῶν τῶν πο-

12 παλαθης] + και δυο(A† διακοσιους) σταφιδας *OL*† | εν] επ *O* || 14 χολθ(ε)ι B†] χελθει compl., χερηθει A†, χορρ(ε)ι *L* | νοτον ult.] τον B† | χελουβ M] γελβουε B: ex 28 4 31 1; χαλεβ *O*† | σεκελακ: cf. 27 6 | ενεπυρισ.] ενεπρησαμεν *O*–A*L*†: cf. 1 || 15 μου > A† || 16 κατηγεν A† | και $3^{0}$ ⌒ $4^{0}$ A† || 17 δαυιδ] post αυτους $2^{0}$ tr. A† | ουκ εσωθη] ου περιεσ. *O*†, ου διεσ. *L* | τετρακοσιοι A† || 18 οι αμαληκιται] ο αμαληκ *L*† | fin.] + δαυιδ *O*† || 19 και απο των σκυλων / και $3^{0}$ — θυγατ.] tr. *O*†; tr. etiam *L*†, sed retinet απο (sic sine και) των σκυλων etiam suo loco | τα *L*] και BA, > *O*–A† | παντα] -τας A† || 20 δαυιδ $1^{0}$ > B | και ult.] pr. και ειπεν αυτη προνομη δαυιδ V† | τα ult. > A*L* || 21 διακοσιους > A†: cf. 27 2 | και $2^{0}$] ους *L* | βοσορ *L* (cf. 9)] βεχωρ A†, βεανα B(†) | τα εις] > A†, τα > *O*–A† || 22 λοιμος .. πονηρος] tr. *L*†